πατρός τ' ἐπακτοῦ καὐτὸς ὢν νοθαγενής.
καὶ τοῦτ' ἔχων τοὔνειδος, ἀσθενὴς μὲν ὤν,
μηδὲν καὶ οὐδένων κεκλήσομαι·
ἢν δ' εἰς τὸ πρῶτον πόλεος ὁρμηθεὶς ζυγὸν
ζητῶ τις εἶναι, τῶν μὲν ἀδυνάτων ὕπο
μισησόμεσθα· λυπρὰ γὰρ τὰ κρείσσονα·
ὅσοι δὲ χρηστοὶ δυνάμενοί τ' εἶναι σοφοὶ
σιγῶσι κοὐ σπεύδουσιν εἰς τὰ πράγματα,
γέλωτ' ἐν αὐτοῖς μωρίαν τε λήψομαι
οὐχ ἡσυχάζων ἐν πόλει φόβου πλέᾳ.
τῶν δ' αὖ λογίων τε χρωμένων τε τῇ πόλει
εἰς ἀξίωμα βὰς πλέον φρουρήσομαι
ψήφοισιν. οὕτω γὰρ τάδ', ὦ πάτερ, φιλεῖ·
οἳ τὰς πόλεις ἔχουσι κἀξιώματα,
τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.
ἐλθὼν δ' ἐς οἶκον ἀλλότριον ἔπηλυς ὢν
γυναῖκά θ' ὡς ἄτεκνον, ἣ κοινουμένη
τὰς συμφοράς σοι πρόσθεν, ἀπολαχοῦσα νῦν
αὐτὴ καθ' αὑτὴν τὴν τύχην οἴσει πικρῶς,
πῶς δ' οὐχ ὑπ' αὐτῆς εἰκότως μισήσομαι,
ὅταν παραστῶ σοὶ μὲν ἐγγύθεν ποδός,
ἣ δ' οὖσ' ἄτεκνος τὰ σὰ φίλ' εἰσορᾷ πικρῶς;
κᾆτ' ἢ προδοὺς σύ μ' εἰς δάμαρτα σὴν βλέπῃς
ἢ τἀμὰ τιμῶν δῶμα συγχέας ἔχῃς;
ὅσας σφαγὰς δὴ φαρμάκων θανασίμων
γυναῖκες εὗρον ἀνδράσιν διαφθοράς.
ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτείρω, πάτερ,
ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία
πατέρων ἀπ' ἐσθλῶν οὖσ' ἀπαιδίᾳ νοσεῖν.
τυραννίδος δὲ τῆς μάτην αἰνουμένης
τὸ μὲν πρόσωπον ἡδύ, τἀν δόμοισι δὲ
λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχής,
ὅστις δεδοικὼς καὶ παραβλέπων βίον

594. *οὐδένων*] Scaliger, *οὐδὲν ὢν* libri. 605. *ἔχοντες ἀξίωμά τε* Stobaeus. 620. *ἀπαιδίᾳ*] L. Dindorfius, *ἀπαιδίαν* libri. 621. *τῆς πάλαι θρυλλουμένης* Stobaeus. 624. *περιβλέπων* Stobaeus.